δὲ καὶ ὡς ἐμνηστεύοντό τινες τὰς παῖδας διὰ τὴν τοῦ
πατρὸς ἀρετήν, ἐκώλυσαν οἱ ἐχθροὶ διὰ ψηφίσματος
μνηστεύεσθαί τινας τὰς κόρας, λέγοντες ὡς ἡ μήτηρ D
αὐτῶν Δαμοκρίτα πολλάκις εὔξατο τὰς θυγατέρας ταχέως
γεννῆσαι παῖδας τιμωροὺς τῷ πατρὶ γενησομένους.
πανταχόθεν δ' ἡ Δαμοκρίτα περιελαυνομένη ἐτήρησέ
τινα πάνδημον ἑορτήν, ἐν ᾗ γυναῖκες ἅμα παρθένοις καὶ
οἰκείοις καὶ νηπίοις ἑώρταζον, αἱ δὲ τῶν ἐν τέλει καθ'
ἑαυτὰς ἐν ἀνδρῶνι μεγάλῳ διεπαννύχιζον· ξίφος τε ὑποζω-
σαμένη καὶ τὰς κόρας λαβοῦσα νυκτὸς ἦλθεν εἰς τὸ ἱερὸν
καιρὸν παραφυλάξασα, ἐν ᾧ πᾶσαι τὸ μυστήριον ἐπετέλουν E
ἐν τῷ ἀνδρῶνι· καὶ κεκλεισμένων τῶν εἰσόδων, ξύλα
ταῖς θύραις πολλὰ προσνήσασα (ταῦτα δ' ἦν εἰς τὴν τῆς
ἑορτῆς θυσίαν ὑπ' ἐκείνων παρεσκευασμένα), πῦρ ἐνῆκε.
συνθεόντων δὲ τῶν ἀνδρῶν ἐπὶ τὴν βοήθειαν, ἡ Δαμοκρίτα
τὰς θυγατέρας ἀπέσφαξε καὶ ἐπ' ἐκείναις ἑαυτήν. οὐκ
ἔχοντες δ' οἱ Λακεδαιμόνιοι, ὅπῃ τὸν θυμὸν ἀπερείσονται,
ἐκτὸς ὅρων ἔρριψαν τῆς τε Δαμοκρίτας καὶ τῶν θυγατέρων
τὰ σώματα. ἐφ' ᾧ μηνίσαντος τοῦ θεοῦ τὸν μέγαν ἱστο-
ροῦσι Λακεδαιμονίοις σεισμὸν ἐπιγενέσθαι.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id402389735/411 UNIVERSITÄT LEIPZIG